ΑΝΑΣΤΑΣΙΟΥ ΓΟΡΔΙΟΥ

# ΕΠΙΓΡΑΜΜΑΤΑ

Ὁ σεβ. Θεσσαλιώτιδος καὶ Φαναριοφερσάλων κ. Ἰεζεκιὴλ ἐδώρησε πρό τινος εἰς τὸ θεολογικὸν σπουδαστήριον καὶ νέον χειρόγραφον δοθὲν αὐτῷ ὑπὸ τοῦ ἐν Ρεντίνῃ τῆς Καρδίτσης δημοδιδασκάλου κ. Κωνσταντίνου Κατσιούλα.

Τὰ ἀφορῶντα εἰς τὸ χειρόγραφον τοῦτο, ὅπερ περιέχει τρία ἀνέκδοτα ἔργα τοῦ Ἀναστασίου Γορδίου, ἀνεκοίνωσα ἐν τῇ Ἀκαδημίᾳ Ἀθηνῶν[1], ἐν τοῖς πρακτικοῖς τῆς ὁποίας ἐδημοσίευσα ἐκτενῆ περιγραφὴν τοῦ χειρογράφου καὶ ἐξέδωκα τὴν ἀπαρίθμησιν ἁπασῶν τῶν ἐν Ζακύνθῳ ἐκκλησιῶν μετ' ἐπιγραμμάτων διστίχων ἰαμβικῶν τοῦ Ἀναστασίου Γορδίου[2]. Ἐκτὸς ὅμως τῶν διστίχων τούτων ἰαμβικῶν ἐπιγραμμάτων εὕρηνται ἐν τῷ ἡμετέρῳ χειρογράφῳ καὶ ἕτερα ἐπιγράμματα τοῦ Ἀναστασίου Γορδίου[3], τὴν ἔκδοσιν τῶν ὁποίων θεωρῶ ἀναγκαίαν οὐ μόνον διότι οὕτω αὐξάνεται ὁ ἀριθμὸς τῶν ἐκδεδομένων ἔργων τοῦ Γορδίου[4], ἀλλὰ καὶ διότι ἐν αὐτοῖς περιέχονται ἱστορικαί τινες εἰδήσεις, ἀναφερόμεναι εἰς λογίους τῆς ἐποχῆς ἐκείνης[5], ἄξιαι προσοχῆς.

### *Ἕτερα ἐπιγράμματα Ἀναστασίου ἱερομονάχου τοῦ ἐξ Ἀγράφων ποιηθέντα ἐν Ζακύνθῳ*

*Εἰς εὐφημίαν καὶ αἶνον τοῦ ὑψηλοτάτου καὶ γαληνοτάτου δουκὸς τῆς τῶν Ἐνετῶν ἐκλαμπροτάτης ἀρχῆς, τροπαιούχου, νικητοῦ, ἀηττήτου Φραγκίσκου τοῦ Μορζήνου, ἤτοι τοῦ Μαυροκένου, τοῦ τῆς περιφανοῦς Πελοποννήσου κατακρατήσαντος.*

Φωσφόρος οἷα μέγας Φραγκίσκε ἐπὶ χθόνα τύχθης

1. Ἐν τῇ συνεδρίᾳ τῆς 9 Φεβρουαρίου τοῦ 1933.

2. Πρακτικὰ τῆς Ἀκαδημίας Ἀθηνῶν τομ. 8 (1933) τεῦχ. 2 (Φεβρουάριος) σ. 45—54.

3. Ἀπὸ σελ. 228—247

4. Περὶ τοῦ βίου καὶ τῶν ἔργων τοῦ Ἀναστασίου Γορδίου πρβλ. τὴν σχετικὴν βιβλιογραφίαν, τὴν παρατεθεῖσαν ὑπ' ἐμοῦ ἐν τοῖς πρακτικοῖς τῆς Ἀκαδημίας (ἔνθ' ἀν. σ. 48).

5. Οἱ πλεῖστοι τῶν ἀναφερομένων λογίων εἶναι καὶ ἄλλοθεν γνωστοί, πρβλ. ἰδίᾳ Γ. Ζαβίρα Νέα Ἑλλὰς καὶ Κ. Σάθα Νεοελ. φιλολογία.

ἀλκῇ καὶ σοφίῃ πάντας ὑπερπροέχων
σφαίρης μὲν κεῖνος τετράτης πόλου ἐξανατέλλων
φαῦσιν ἑὴν προχέει πᾶσιν ἀπειρέσιον
σὺ δ' ἐξ Αὐσονίης γαίης προθύρων ὄχ' ἄριστε
φαιδροτέρην αὐγὴν κείνου ἐπιπροχέεις
ἀμφὶ σὲ πᾶσα γέγηθεν ὁμήγυρις εὐσεβέουσα
χεῖρας ἀειρομένη πρὸς Θεὸν ἱκεσίους
δουλικοῦ ἐκ ζυγοῖο ἐλευθερίην ὄφρα ἴδῃ
ὃν σὺ καταθραίσαις σῇ δυνάμει τέλεον
καὶ δὴ καὶ κατέθραυσας ἀπείρονα λαὸν ὀλέσσας
Τούρκων δυσσεβέων δυσμενέος στρατιῆς.
Ἤδη σοι Πελοπόννησος χάριν οἶδε μεγίστην·
πᾶσαν ἀπωσαμένη ζεῦγλαν ἐπαυχένιον.
Ἤδη καὶ λοιπὴ ὅσον οὔπω εἴσεται Ἑλλὰς
κύδε· γαννυμένη τῆς προτέρης σοφίης.

*Ἕτερον εἰς τὸν αὐτὸν ἐξελαύνοντα τοὺς ἀθέους Ἀγαρηνοὺς ἐκ τῆς Ἑλλάδος.*

Φεύγετε δὴ Τούρκων τάχος Ἑλλάδος ἄγρια φῦλα,
φεύγετε ἐσσομένως βαρβαρικὴν ἐς ἔρανο
ὃς γὰρ ὕπερθεν ἔχει θρόνον οὐρανοῦ ἀστερόεντος
ὑμᾶς ἐξολέσαι βούλετ' ἐπατρεκέως
τοὔνεκεν εὐσεβέος κράτους μέγαν ἀρχὸν ἔπεμψεν
ἀριστοκρατίης Ἑνετιῶν ζαθέων,
Φραγκῖσκον Μορζῆνα περικλυτόν, οἷον ἀπ' ἄλλων
ἔξοχον ἐν σοφίῃ, ἔξοχον ἐν πολέμοις,
ὃς κράτος ἠδ' ἀσέβειαν ὑμῶν πάμπαν καταλύσει
μηδένα χῶρον ἀφεὶς λείψανον ἀσεβίης.
Πρῶτα μὲν Εὐρώπης ἀπελάσει, αὐτὰρ ἔπειτα
αἴης ἐξ Ἀσίης, ἀραβικῶν θ' ὁρίων,
ὄφρα κεν ἐξίτηλον ἅπαν Τούρκων γένος εἴη
καὶ ἐν χριστιανοῖς πᾶσιν ὁμοφροσύνη.

*Εἰς τὸν σοφώτατον καὶ λογιώτατον μητροπολίτην Σεβαστείας, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Ἀρμενίας κύριον κύριον Ἰωσὴφ Δόξαν, τὸν ἐκ Ζακύνθου.*

Ἡλικίην ἅπασαν διὰ σεμνῶν ἤλυθες ἔργων
ταὔτ' ἄρα, καὶ δόξης, ἔσχες ἐπωνυμίαν·

ἐκ προγόνων ἀρετὴν γὰρ κτήσαο Δόξα 'Ιωσὴφ
δόξαν ἔχων ἐπὶ γῆς εἴκελον οὐρανίης,
ἀνδρῶν δή σε σοφῶν κύκλος σὴν ὃς κατὰ μοῖραν
θαύμασεν εὐεπίης ἣ ῥέεν οἷα μέλι,
σοῦ μάκαρ ἐκ στόματος τέρπουσα θεόφρονα λαόν,
ῥητορικῆς ἱερῆς πουλυπομαθημοσύνη.
Κρήτη σῶν λογίων μετὰ πάτρην δέκτο τὰ ρεῖθρα,
καὶ νήσων Κυκλάδων δῆμοι, ἰδὲ Σποράδων
τοὔνεκα καὶ Φραγκίσκος ὁ Μορζὴν ἡμίθεος φὼς
ἐξέτισ' ὁπλοτέρης ἡλικίης φίλεε,
καὶ ποθ' ὅτ' εἰς Κρήτην ἐπ' 'Αγαρηνοὺς στόλον ἦγεν,
σεῖο δίχα γνώμης οὐδὲν ἔπραττεν ὅλως,
τόφρ' ἔτι σοι καὶ κλεινὸν ἔχειν θρόνον ἀρχιερήων
δῶκε Σεβαστείης 'Αρμενίης τε πάσης
νῦν δ' αὖ σ' ἡνίκ' ἀνέδραμεν ἀκροτάτην ἐπὶ ἕδρην
ἀρχῆς λαμπροτάτης δόξα σε λαμπροτέρως·
οὕτω γὰρ μετέπειτ' ἀρετὴ τιμάει τιμάοντας
πολλῶν ἐκ καμάτων μνῆστιν ἔχουσα τιμῶν.

*Προτρεπτικὸν εἰς πόλεμον.*

Χριστιανῶν ἀνέρων μεγαλήτορες οἳ γεγάασθε
δεῦρ' ἴτε θεσπεσίῳ ἀνδρὶ ἐφεσπόμενοι
πάντοθεν ὅπλα κινοῦντες εἰς ἥλιον καταδύντα
στρατὸν ὅλον Τούρκων πέμψατε εἰς ἀΐδην.

*Εἰς τὸν αἰδεσιμώτατον καὶ λογιώτατον ἀρχιπρεσβύτερον τῆς Ζακύνθου κύριον Δημήτριον τὸν Σουμμάκιον.*

Σουμμακίης φύτλης γόνος ἔπλεο πᾶσιν ἀγητὸς
παντοίων ἀρετῶν χάρισιν ὡς κομόων,
τοὔνεκα καὶ πατρίς σοι δῶκε μέγα κλέος ἴσχειν
ἀρχὸν πρεσβυτέρων ἔμμεναι κυδαλίμων.

*Καὶ ἄλλως εἰς τὸν αὐτόν.*

Φύτλης εὐγενέος, Δημήτριε, βλαστὸς ἐτύχθης,
κλεινῶν Σουμμακίων εὖ μάλα πεπνυμένων
ἤδη καὶ σοφίης κολοφῶνα εἰς ἄκρον ἀνήχθης
δῶρ' ἀρετῶν πασάων πάντοθεν ἀμφιέχων,
τοὔνεκεν ἀραρότως ἱερήων ἀρχὸν ἁπάντων
θῆκέ σε σὺν πολιταις ἔμμεναι ἀρχιθύτης.

*Εἰς εἰκόνα Νεκταρίου πατριάρχου Ἱεροσολύμων.*

Ἰαμβεῖον.

Εἰκὼν τίς αὕτη ; Τοῦ προέδρου Αἰλίας.
Πόθεν τίς οὗτος ; Κρής, σοφὸς Νεκτάριος.

*Εἰς τὴν αὐτὴν εἰκόνα τοῦ αὐτοῦ Πατριάρχου.*

Ἔμπνουν ἰδέσθαι σὴν θέαν ἦν μοι πόθος,
ἐπεὶ δὲ ταύτης ἤμβροτον, καὶ τὴν ἄπνουν
τὸν δεύτερον πλοῦν, ᾗ φασι, δοκῶ βλέπειν
ἔμπνουν καθάπερ πατριαρχῶν ὦ κλέος.

*Εἰς τὴν πονηθεῖσαν αὐτῷ ἱερὰν βίβλον.*

Πανιέρου στόματος γλώττης ἄπο Νεκταρίοιο
νέκταρ ἔην ἱερῆς ἀμβροσίης ὃ ῥέεν.

*Ἄλλο.*

Πηγασίδος κρήνης ναμάτων τάδε Νεκταρίοιο
κρείσσονα πολὺ πέλει, νέκταρ ὅσον νάματος.

*Εἰς τὴν περίφημον νῆσον Ζάκυνθον.*

Ζάκυνθος χαρίτεσσιν ὁμοίως εἴαρος ὥρης
ἄνθεσι παντοδαποῖς ἀμφιπεριστρέφεται.

*Εἰς τὴν βιβλιοθήκην τοῦ λογιωτάτου Ἀγγέλου Σουμμακίου, τοῦ Ζακυνθίου.* Ἰαμβικόν.

Σιὼν Σίναιον ὧδε διττοῖς τοῖς νόμοις
χορός τε μουσῶν τῶν Ἑλικωνιάδων.

*Καὶ ἄλλως.*

Ἐνταῦθα πᾶσα βίβλος ἱερὰ πέλει
σύμπας χορός τε τῶν Ἑλικωνιάδων.

*Εἰς τὸν εὐγενέστατον καὶ λογιώτατον Ἐμμανουὴλ τὸν Βυζάντιον, φιλόσοφον καὶ ἰατρόν, ἐν τῷ τοῦ Παταυΐου ἀρχιλυκείῳ στεφθέντα, ὡς ἐπ' ἄκρον φιλοσοφίας καὶ ἰατρικῆς ἐλάσαντα.*

Γείνατο Βυζαντίς σε, Μανουήλ, ἡ βασίλεια
τῶν κατὰ γῆν πτολίων ἡ περιδοξοτάτη,
δέξατο δ' ἐν μούσῃσιν ἀριπρεπέως πόλις αὖθις
ἡ Ἀντηνοριδῶν κῦδος ἔχουσα μέγα.

Κείνη σοι γλυκεροῖο γάλακτος ὀρέξασα θηλὴν
θρέψε καταλλήλως τοῖς ἔτι νηπιάχοις,
ἡ δ' ἑτέρ' ἁβροτέρησι λόγων ἐκθρέψασ' ἐδωδαῖς
ἄνδρα τελειοτάτῃ δεῖξεν ἐφ' ἡλικίῃ
τοὔνεκ' ἄρα στεφάνοισι κεκασμένος ἀμφοτέρωθεν
διττοῖς, εὐγενίῃ γήθεο καὶ σοφίῃ.

*Ἕτερον εἰς τὸν αὐτόν.*

Οὐ μόνον ἐν βίβλοισιν Ἀριστοτέλους ὅσα κεῖται
Μανουὴλ ἐδάη δόγματα φιλοσόφων,
ἀλλὰ καὶ ὅσσα πάροιθεν Ἀριστοκλέης λῖπε θεῖος
γράμμασι τῆς ἰδίης μνημόσυνον σοφίης
εἶτ' ἀσκληπιάδῃσι φέρων αὐτὸν συνέμιξε
βίβλους χερσὶν ἔχων αἰὲν ἀκεστορίης,
Ἱπποκράτους πρώτιστα, Γαληνοῦ τ' αὐτὰρ ἔπειτα
δόγμασι τοῖς τούτων εἴ τις ὁμοφρονέει.

*Εἰς τὸν πανιερώτατον καὶ σοφώτατον μητροπολίτην Φιλαδελφείας, ὑπέρτιμον καὶ ἔξαρχον τοῦ οἰκουμενικοῦ θρόνου, τὸν ἐκ τῆς περιφήμου νήσου Κεφαλληνίας, κύριον, κύριον Μελέτιον Τυπάλδον.*

Ἀρχιθυτῶν ἐφύπερθεν ἐν ἀκροτάτῃ περιωπῇ
πράξιος ἠδὲ λόγου ἅρματος οὐρανίου
Χριστὸς ἀμειβόμενος πόρε σοι μέγα εὖχος ἀείρειν
ἀτρεκέως τυπόων τύπῳ ἐνὶ σφετέρῳ
προτροπάδην τ' ἔμεναι τύπον εἰς ἄλλων σε Τυπάλδε
τὸν μελέτην ἀρετὴν αἰὲν ἔμελλον ἔχειν,
τοὔνεκα καὶ Μελέτιος ἀριστονόος σοφὲ κλήθης,
οἷα σοφῶς μελετῶν πνεύματος ἐν λογίοις.

*Ἄλλο.*

Ἀρχῷ Μαιονίδης Κεφαλήνων ἰσοφαρίζειν
οὐδένα φάτο μύθῳ ἔν ποτε Ἀλκινόου
καί σοι ὦ μέγ' ἄριστε Κεφαλλήνων γόνῳ ὄντι
θεολογέων οὐδεὶς ἔσσεται ἶσα λέγων.

*Εἰς εἰκόνα Γρηγορίου ἱερέως Μαρᾶ τοῦ Κρητός.*

Οὐ Διὸς ἀλλὰ δίου τόδε δείκελον ἐσθ' ἱερῆος
Κρητὸς κῆρ' ἀγαθοῦ Γρηγορίοιο Μαρᾶ
τῆς ἀρετῆς ἀμάραντον, ὅς ἴσχει κῦδος ἐν ἔργοις
ἔξοχος οἷα γεγὼς ἐν πολιοκροτάφοις.

*Εἰς εἰκόνα τοῦ ἀνεψιοῦ αὐτοῦ Μάρκου ἱερέως.*

Εἴδεος Ἀνδρομέου καλὸν ὅ,ττιπερ ἐν φρεσὶ θείης
δεῦρ' ἄγε θαυμασίῳ, δέρκεο τῷδε τύπῳ,
εἰ δ' ἄρα καὶ πάτρην, κλῆσιν θ' ἅμα τ' ἔργα δίζῃ,
Μᾶρκος Κρής, ἱερεὺς τὴν σοφίην μεθέπων.

*Εἰς εἰκόνα Μάρκου ἱερέως τοῦ Μαρᾶ.*

Ἠνίδε καὶ Μάρκοιο περικλυτὸν ἄθρεε τύπον
ἀνδρὸς τῶν λογίων οὐκ ἀπολειπομένου.
Κρὴς μὲν δὴ καὶ οὗτος ἀδελφοῦ Γρηγορίοιο
παῖς, ἱερῶν προγόνων ἱρὸν ὃς ἔρνος ἔφυ.

*Εἰς τὸν ἐν φιλοσόφοις ἄριστον καὶ ἐν ἰατροῖς ἐξοχώτατον κύριον, κύριον Γεώργιον, ὃν ἡ φήμη τοῖς πᾶσι Καλαφάτην ἐγνώρισεν.*

Ἃ καλὰ φάτις ἔφατο καλὰν φάτιν εὖ σε φέριστε
κλῆσιν ἑὴν φαμένη ψεύδεος ἦ ῥα δίχα.

*Εἰς τὸ Ἀνατωλικὸν ἐν χειμῶνι ὑπὸ τῶν ὑδάτων καλυπτόμενον.*

Οὐ χιόνος πλήρη τάδε, πλήρη δ' ὕδατός εἰσι,
τοῦ μὲν ἀνερχομένου, τοῦ δὲ κατερχομένου.

*Εἰς μοναχοὺς κρεωφαγοῦντας.*

Οὐ καλὸν ἐν μοναχοῖσι κρεωφαγίη διὰ παντὸς
οἶά περ οὐλομένην ὕβριν ἐπαγομένη,
κεῖνοι μὲν δὴ καὶ μάλα μέμψιός εἰσιν ὕπερθεν,
οἵτινες ἀδρανίῃ, οὐχ ἑκὰς εἰσὶ μόρου
οἱ δὲ χαριζόμενοι λαιμῷ γαστρός, φιλ' ἑταίρῳ
ψευδομένων οὗτοι κ' οὐ μοναχοὶ κυρίως.

*Εἰς ζεῦγος χελιδόνων ὑπὸ γαλῆς ληφθέντων καὶ σπαραχθέντων.*

Γλῶσσαν ὅλην πάρος ἐξεθέρισε τεὴν φιλομήλη
Τηρεὺς μητιόων σοῦ πέρι λευγαλέα
νῦν δὲ γαλῆς ὕπο πᾶσαν ὁμοῦ βιοτὰν σὺν ἀκοίτῃ
σῆς ἄποθεν καλιῆς ὤλεσας αἶψα φίλῳ.

*Εἰς Νικόδημον τὸν ἐμὸν διδάσκαλον θανόντα.*

Τέρμα τεοῦ βιότοιο μαθὼν Νικόδημ' ἀνιηρὸν
πᾶς τις δακρυχέων ὧδ' ἐβόησε μέγα
αἶ, αἶ σοι σοφίῃ Νικόδημος ἔδυ χθόνα, αἶ αἶ,

ὃς μετὰ πᾶσιν ἔην ἀνδράσι κυδάλιμος
ἀνδράσι κυδάλιμος Νικόδημος ἔκειτο λόγοισι
τοῖσιν ἐκοσμήθη πάντοθεν ἐνδυκέως.

*Ἐπιτάφιον εἰς Εὐγένιον τὸν Ἰωαννούλιον, τὸν ἐμὸν πνευματικὸν πατέρα καὶ διδάσκαλον.*

Ἐνθάδε Εὐγένιοιο θεουδέος ἀνέρος ἐσθλοῦ
κεῖται ἐπ' εὐσεβίῃ σῶμα μέγ' εὐγενέος.

*Ἐπιτάφιον εἰς τὴν τοῦ Ἀδὰμ ὁμόζυγον.*

Πᾶσι γάμον τεκέεσσιν ὁρᾶν ἢ φῶς ἐπὶ γαίης
ἥδε γυνὴ Ἀδάμου ηὔχετο ἦμαρ ἅπαν
τοὔνεκα καὶ πυμάτην ἐσιδὼν νύμφην ἐνὶ οἴκῳ
δὴ γελόωσ' ἀΐδου κῶμον ἐς ἠγάθεον.

*Μετάφρασις εἰς τὸ ἐξαποστειλάριον τοῦ Πάσχα, τὸ «Σαρκὶ ὑπνώσας».*

Κοίρανος ὢν μεδέων βροτὸς ὑπνώοντί τ' ἐοικὼς
ἤματι ἐν τριτάτῳ, φῶς πάλιν εἰσανέβης,
πρωτόγονον πυλάων ἀγαγὼν βροτὸν ἐξ Ἀΐδαο
λυγρῆς τ' ἐκ φθιμένων ἄμβροτον εἰς βιοτὴν
κέντρον ἅπαν καθελών τε τανηλεγέος θανάτοιο
Πάσχα πέλεις κόσμου ῥύσιον οὐ φθίμενον.

*Μετάφρασις τοῦ ἐξαποστειλαρίου τῆς Μεσοπεντηκοστῆς «Ὁ τὸν κρατῆρα ἔχων».*

Σεῦ ἄπο κρατῆρος δόθι μοι πόμα αἰὲν ἀφέσσειν
ἄμβροτον ἀμβροσίης νέκταρ ἐπουρανίου
σὸς λόγος ὥς κεν ἔοι τετελεσμένος υἱὲ θεοῖο
τῷ ἔνι διψαλέῳ καύματι τηκομένῳ.

*Ἑτέρα εἰς τὸ «Τῆς ψυχῆς τὰ ὄμματα».*

Σοὶ μάκαρ ὄμματα πηρὸς ἐὼν φρενὸς οἷα περ ἄλλος
ἐκ γενετῆς ἱκέτης ταρσὸν ἰθὺν δινέω
βόρβορον ὥς κεν ἐμῶν ἀπομόρξας ἀμπλακιάων
φωτὸς ἀκηρασίου ὡς τάχος ἀντιάσω.

*Μετάφρασις τοῦ Χριστὸς ἀνέστη.*

Ἐν τῷ Ἀνατωλικῷ κατὰ τὸ ᾳχ҅ηστ. ἔτος.

Χριστὸς ἀνέστη ἐκ νεκύων κατατεθνειώτων

οἶτον ὅλον καθελὼν ἠνορέηφι μόρου
πᾶσι δ' ὄρεξε βίον θεῖον δειλοῖσι βροτοῖσι
γαίης ἐν μυχάτοις ἔκπαλαι κευθομένοις.

*Ἑτέρα κατὰ τὸ αχηη' ἔτος.*

Βῆσατ' ἄνω γαίης Χριστὸς νεκύων ὑπένερθεν
πότμον ἐῷ πότμῳ πάμπαν ὑπεξολέσας
τούτοις θ' οἵ κατέκειντο τάφοις ἐν ἀποφθιμένοισι
δῶκεν ἐπουρανίου κλῆρον ἔχειν βιότου.

*Ἑτέρα κατὰ τὸ αχηθ' ἔτος.*

Ἔκθορεν ἐκ πυλάων ἀΐδου μέγα φέρτερος ἄλλος
ἥλιος οὐρανίου Χριστὸς ἐῷ θανάτῳ
πάντα μόρον θέμενος βροτέης ἄποθεν βιοτῆτος
τοῖς τ' ἐνὶ θαπτομένοις ζῆν ἐσαεὶ ὀπάσας.

*Ἑτέρα κατὰ τὸ αψα' ἔτος.*

Χριστὸς ἀπὸ φθιμένων παλινάγρετος ὦρτο νεκύων
θάνατον ἐκτρίψας τῷ σφετέρῳ θανάτῳ
τοῖς τ' ἐνὶ γῆς λαγόσι χρονίως κατακευθομένοισιν
ὤπασε βίον ἔχειν οὔποτε παυόμενον.

*Ἑτέρα κατὰ τὸ αψβ' ἔτος.*

Ὦρτο μὲν ἐκ νεκύων Χριστὸς θάνατον πεπατηκὼς
τῷ σφετέρῳ θανάτῳ, πᾶσι δὲ δῶκεν βίον
μνήμασιν οἵ κατέκειντο ὑπὸ ζόφον ἠερόεντα
θέσφατον ὥσπερ ἔην οὔποτε παυσόμενον.

*Εἰς τὸν μουσικώτατον κύριον Ἀναστάσιον, τὸν ἐξ Ἰωαννίνων.*

Μουσικὸς οὗτος ἀνὴρ Ἠπειρόθεν ὥς τις ἄριστος
εἰς Αἰτωλῶν γῆς ἤλυθε κῦδος ἔχων.

*Ἄλλο.*

Μουσουργῶν ὄχ' ἄριστος Ἀναστάσιος λιγυφώνων
πᾶσιν ὁμοφρονέως μοῦνος ἔμεν λέγεται.

*Τὸ ὑπὸ τὸ τέμπλον τῆς ἁγίας Παρασκευῆς εἰς τὰ Βρανιανά.*

Ἦρξε μὲν Εὐγένιος πάλαι ἔργον, ὅπως τόδε τεύξῃ,
λεῖπε δ' ὅμως ἀτελὲς δευόμενος δαπάνης,
ἀτὰρ Ἀναστάσιος μετέπειθ' ἅμα Χριστοφόρῳ τε

τοι όπαδοί οἵ ἔσαν τέρματι ἐν βιότου
ἄρτιον ὄφρα γένοιτο κατ' ἀμφότερ' ἰσχανόωντες
εὖ καὶ ἐπισταμένως πολλὸν ἀρειότερον
ἀνδρὶ μάλα ξυνέκυρσαν ἑὸν θυμὸν ἀμφιέποντι
Παναγιώτῃ τῷ Στάνου, ὃν οἶδε φάτις
ἔνθεν ἐπισπεύσαντες ὑπ' οὔασι μῆτιν ἔθεντο
τοῦ πέρι καὶ κτεάτων ὤπασεν ὅσσον ἔδει
τὼς ἄρα καὶ τετέλεστο Θεῷ κεχαρισμένον ἔργον
ὥς κεν ὃ αὖτ' ὀπάσῃ τοῖσι λύσιν παθέων.
τρισὶν ἐπ' ὀγδωκονθ' ἑξακοσίοις χιλίοις τε
πᾶσι περιπλομένοις ἐς τόδε λυκάβασι,
μὴν ὅτ' ἐν ὑστατίῃ φθινύθεσκε Νοέμβριος ἠοῖ.

*'Επιτάφιον εἰς Γρηγόριον τὸν Μάνεσιν.*

Γρηγόριος Μάνεσις μακρὸν ἐντεῦθ' ὕπνον ἰάσει

*"Ετερον εἰς τὸν αὐτόν.*

'Ενθάδε Γρηγορίοιο δέμας χθόνα δέκτο μέλαινα
πολλῶν ἐκ στομάτων ὃς Μάνεσις κέκλητο.

*'Επιτάφιον εἰς 'Ιάκωβον, τὸν ἐπίσκοπον Λιτζᾶς καὶ 'Αγράφων.*

'Αρχιερεὺς 'Ιάκωβος 'Ελίτζης ἠδ' 'Αγράφων τε
τῇδε βίον περάνας, κεῖθ' ὑπὸ τῷδε τάφῳ.

*'Επιτάφιον εἰς 'Αλέξανδρον, τὸν ἀδελφὸν 'Ιωάννου Λουδαρέκκα.*

Γῆ Μακεδὼν ἄγαν εὔχετ' 'Αλεξάνδροιο ἐπ' ἔργοις
τοῦ δὲ γ' ὁμωνύμου, τοῦδε, καὶ ἡ Πέλοπος.
'Ιωάννης Λουδαρέκκας Μακεδὼν Θεσσαλονικεὺς ὁ ἀπὸ
Τριβούνων 'Αλεξάνδρῳ τῷ ἀδελφῷ μνείας χάριν.

*Εἰς βίβλους.*

Πλεῖστα μὲν ἡμερίοισιν ἐπήλυθε τῶν ὅσα κόσμῳ
γίγνεται ἠδὲ ῥέει, πλεῖστα δὲ καὶ λέλυται.
πυκτίσιν ἅδ' ἐνέθηκαν ἐπίφρονες ἀνέρες ἐσθλοὶ
μοῦν' ἃ ἀπειρεσίοις λυκάβασι στρέφεται

*Εἰς τὴν ἱερὰν βίβλον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου.*

Γρηγορίοιο βίβλον θεεφάντορος ὅς κε λάβησι
χερσί, θεηγορίης ἴδμονα νοῦν ἐχέτω.

*Καὶ ἄλλως.*

Γρηγορίοιο βίβλον μετὰ χερσὶ φέρειν ὃς ἱμείρῃ
δεῖ σε θεηγορίης ἕξιν ὁπώσποτ' ἔχειν.

*Καὶ ἄλλως.*

Ὅς κεν ἐϋφρονέων μετὰ χερσὶ βίβλον φορέῃσι
Γρηγορίου, σοφίης δεῖται ἐπουρανίου.

*Καὶ ἄλλως.*

Βίβλον Γρηγορίοιο θεόφρονος ὃς μετὰ χεῖρας
νωλεμέως φορέει θεολογίης δέεται.

*Καὶ ἄλλως*

Βίβλον Γρηγορίοιο θεόφρονος ὅς κεν ἕλοιο
χρή σε θεηγορίης ἰδμοσίνην ἐχέμεν.

Κ. ΔΥΟΒΟΥΝΙΩΤΗΣ